The purpose of this apparatus is to show all variation within **Family 35**, as identified by a complete collation of the following thirty-six representative MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 959, 986, 1072, 1075, 1100, 1247, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 2080, 2466, 2554, 2587 and 2723. The first reading is that of the family and represents the vote of all the collated MSS (listed above) that are not identified as having a variant. It goes without saying that the base text is that of the family archetype, empirically determined. 35, 1072, 1503, 1855, 1864, 1892, 2080, 2587 and 2723 have no variants.

# ΠΡΟΣ ΤΙΤΟΝ[1]

*[Greeting]*

**1**.1 Παυλος, δουλος Θεου, αποστολος δε Ιησου Χριστου κατα πιστιν εκλεκτων Θεου και
επιγνωσιν αληθειας της κατ' ευσεβειαν, 2 επ' ελπιδι ζωης αιωνιου—ἣν επηγγειλατο ὁ
αψευδης Θεος προ χρονων αιωνιων, 3 εφανερωσεν δε καιροις ιδιοις τον λογον αυτου εν
κηρυγματι, ὃ επιστευθην εγω κατ' επιταγην του Σωτηρος ἡμων Θεου· 4 Τιτω, γνησιω τεκνω
κατα κοινην πιστιν: χαρις, ελεος, ειρηνη απο Θεου Πατρος και Κυριου Ιησου Χριστου, του
Σωτηρος ἡμων.

[Qualifications for elders]

**1**.5 Τουτου χαριν κατελιπον σε εν[2] Κρητη, ἵνα τα λειποντα επιδιορθωση[3] και καταστησης
κατα πολιν[4] πρεσβυτερους ὡς εγω σοι διεταξαμην 6—ει τις εστιν ανεγκλητος, μιας γυναικος
ανηρ, τεκνα εχων πιστα, μη εν κατηγορια ασωτιας[5] ἢ ανυποτακτα. 7 Δει γαρ τον επισκοπον
ανεγκλητον ειναι ὡς Θεου οικονομον· μη αυθαδη, μη οργιλον, μη παροινον, μη πληκτην, μη
αισχροκερδη· 8 αλλα φιλοξενον, φιλαγαθον, σωφρονα, δικαιον, ὅσιον, εγκρατη· 9 αντεχομενον
του κατα την διδαχην πιστου λογου, ἵνα δυνατος ἦ και παρακαλειν εν τη διδασκαλια τη
ὑγιαινουση και τους αντιλεγοντας[6] ελεγχειν.

*[They must face opposition]*

10 Εισιν γαρ πολλοι και ανυποτακτοι,[7] ματαιολογοι και φρεναπαται, μαλιστα οἱ εκ
περιτομης, 11 οὓς δει επιστομιζειν—οἵτινες ὅλους οικους ανατρεπουσιν, διδασκοντες ἃ μη
δει, αισχρου κερδους χαριν! 12 Ειπεν τις εξ αυτων, ιδιος αυτων προφητης,[8] "Κρητες αει
ψευσται, κακα θηρια, γαστερες αργαι". 13 Ἡ μαρτυρια αὕτη εστιν αληθης. Δι' ἣν αιτιαν
ελεγχε αυτους αποτομως, ἵνα ὑγιαινωσιν εν τη πιστει, 14 μη προσεχοντες Ιουδαικοις μυθοις
και εντολαις ανθρωπων αποστρεφομενων την αληθειαν. 15 Παντα[9] μεν καθαρα τοις καθαροις·
τοις δε μεμιασμενοις και απιστοις ουδεν καθαρον, αλλα μεμιανται αυτων και ὁ νους και ἡ
συνειδησις. 16 Θεον ὁμολογουσιν ειδεναι, τοις δε εργοις αρνουνται, βδελυκτοι οντες και
απειθεις και προς παν εργον αγαθον[10] αδοκιμοι.[11]

[Qualities to be taught]

**2**.1 Συ δε λαλει ἃ πρεπει τη ὑγιαινουση διδασκαλια: 2 πρεσβυτας[12] νηφαλιους[13] ειναι,
σεμνους, σωφρονας, ὑγιαινοντας τη πιστει, τη αγαπη, τη ὑπομονη· 3 πρεσβυτιδας ὡσαυτως εν
καταστηματι ἱεροπρεπεις, μη διαβολους, μη οινω πολλω δεδουλωμενας, καλοδιδασκαλους

---

[1] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©.
[2] εν || 1 τη 1247
[3] επιδιορθωση || επιδιωρθωση 1732
[4] και παλιν || --- 1761
[5] ασωτιας || ασωτειας [10%] 2466
[6] αντιλεγοντας || αντιλεγοντα 1247
[7] ανυποτακτοι 35c || 1 και [10%] 35
[8] αυτων προφητης || ~ 21 328 || 1 προφητις 1725
[9] παντα || παν 1247
[10] αγαθον || --- 1892 (homoioarcton?)
[11] αδοκιμοι || αδοκιμον 1876
[12] πρεσβυτας || πρεσβυτερους 328,394,928,959,1247,1249
[13] νηφαλιους || νηφαλεους 1247

4—ἱνα σωφρονιζωσιν τας νεας φιλανδρους ειναι, φιλοτεκνους, 5 σωφρονας, ἁγνας, οικουρους
αγαθας, ὑποτασσομενας[1] τοις ιδιοις ανδρασιν, ἱνα μη ὁ λογος του Θεου βλασφημηται.[2]
6 Τους νεωτερους ὡσαυτως παρακαλει σωφρονειν, 7 περι παντα[3] σεαυτον παρεχομενος
τυπον καλων εργων: εν τη διδασκαλια αδιαφθοριαν,[4] σεμνοτητα, αφθαρσιαν 8—λογον ὑγιη,
ακαταγνωστον—ἱνα ὁ εξ εναντιας εντραπη, μηδεν εχων περι ἡμων[5] λεγειν φαυλον.
9 Δουλους ιδιοις δεσποταις ὑποτασσεσθαι[6] εν πασιν, ευαρεστους ειναι, μη αντιλεγοντας,
10 μη νοσφιζομενους, αλλα πιστιν πασαν ενδεικνυμενους αγαθην, ἱνα την διδασκαλιαν του
Σωτηρος ἡμων Θεου κοσμωσιν εν πασιν.

*[Saving grace]*

11 Επεφανη γαρ[7] ἡ χαρις του Θεου ἡ σωτηριος πασιν ανθρωποις, 12 παιδευουσα ἡμας
ἱνα, αρνησαμενοι την ασεβειαν και τας κοσμικας επιθυμιας, σωφρονως και δικαιως και
ευσεβως ζησωμεν[8] εν τω νυν αιωνι, 13 προσδεχομενοι την μακαριαν ελπιδα, και επιφανειαν
της δοξης του μεγαλου Θεου και Σωτηρος ἡμων Ιησου Χριστου, 14 ὃς εδωκεν ἑαυτον ὑπερ
ἡμων, ἱνα λυτρωσηται ἡμας απο πασης ανομιας και καθαριση ἑαυτω[9] λαον περιουσιον,
ζηλωτην καλων εργων. 15 Ταυτα λαλει και παρακαλει και ελεγχε μετα πασης επιταγης.
Μηδεις σου περιφρονειτω.[10]

## [The difference the Gospel makes]

**3**.1 Ὑπομιμνησκε αυτους αρχαις και εξουσιαις ὑποτασσεσθαι, πειθαρχειν, προς παν εργον
αγαθον ἑτοιμους ειναι, 2 μηδενα βλασφημειν, αμαχους ειναι, επιεικεις,[11] πασαν
ενδεικνυμενους πραοτητα προς παντας ανθρωπους. 3 Ημεν γαρ ποτε και ἡμεις ανοητοι,
απειθεις, πλανωμενοι,[12] δουλευοντες επιθυμιαις και ἡδοναις ποικιλαις, εν κακια και φθονω
διαγοντες,[13] στυγητοι, μισουντες αλληλους.

*[What a marvelous salvation!]*

4 Ὁτε δε ἡ χρηστοτης και ἡ φιλανθρωπια επεφανη[14] του Σωτηρος ἡμων Θεου 5—ουκ
εξ εργων των εν δικαιοσυνη ὧν εποιησαμεν ἡμεις αλλα κατα τον αυτου ελεον—εσωσεν ἡμας
δια λουτρου παλιγγενεσιας και ανακαινωσεως Πνευματος Ἁγιου, 6 οὗ εξεχεεν εφ' ἡμας
πλουσιως δια Ιησου Χριστου του Σωτηρος ἡμων, 7 ἱνα δικαιωθεντες τη εκεινου χαριτι
κληρονομοι γενωμεθα κατ' ελπιδα ζωης αιωνιου.

*[So let's do good]*

8 Πιστος ὁ λογος, και περι τουτων βουλομαι σε διαβεβαιουσθαι, ἱνα φροντιζωσιν
καλων εργων προιστασθαι οἱ πεπιστευκοτες τω Θεω. Ταυτα εστιν τα καλα και ωφελιμα τοις

---

[1] υποτασσομενας || υποτασομενας 1247
[2] βλασφημηται || βλασφημειται 394
[3] παντα || παντων 1732
[4] αδιαφθοριαν 18,35,328,394,604,928,959,1072,1100,1247,1249,1503,1548,1637,1761,1855,1864,1892,2080,2587,2723
αδιαφοριαν (7.8%) 35[c],201,204,386,444,757,824,986,1075,1503[c],1637[c],1725,1732,1768,1864[c],1865,1876,2466,2554,2723[c]
αδιαφορια , 'indifference/carelessness', was a common word in classical Greek, while αδιαφθορια, 'integrity', apparently did not exist in classical Greek, and some scribes may have written the more common word without thinking. Also, φθ → φ would presumably be an easier alteration than the reverse, being a predictable phonetic simplification. 91.9% of all extant Greek manuscripts have the double consonant, although 8.3% do so in a shorter form of the word. In any case, it is scarcely credible that Paul would tell Titus to teach with indifference or carelessness (it might be possible to argue for a derived meaning of imparciality, but why do so?).
[5] ημων || υμων [20%] 201
[6] υποτασσεσθαι || υποτασεσθαι 1249
[7] γαρ || --- 328,394,432,1100,1247
[8] ζησωμεν || ζησομεν 1768
[9] εαυτω || αυτω 959
[10] περιφρονειτω || καταφρονειτω 959
[11] επιεικεις || επειεικεις 394
[12] πλανωμενοι || πλανομενοι 757
[13] διαγοντες || διαγονταις 757
[14] η χρηστοτης και η φιλανθρωπια επεφανη || ~ 456312 328

ανθρωποις. 9 Μωρας δε ζητησεις και γενεαλογιας και ερις[1] και μαχας νομικας περιιστασο, εισιν γαρ ανωφελεις και ματαιοι.

10 Αἱρετικον ανθρωπον μετα μιαν και δευτεραν νουθεσιαν παραιτου, 11 ειδως ὁτι εξεστραπται ὁ τοιουτος και ἁμαρτανει, ων αυτοκατακριτος.[2]

[Farewell]

**3**.12 Ὁταν πεμψω Αρτεμαν[3] προς σε ἠ Τυχικον, σπουδασον ελθειν προς με εις Νικοπολιν, εκει[4] γαρ κεκρικα παραχειμασαι. 13 Ζηναν τον νομικον και Απολλω σπουδαιως προπεμψον, ἱνα μηδεν αυτοις λειπη. 14 Μανθανετωσαν δε και οἱ ἡμετεροι καλων εργων προιστασθαι, εις τας αναγκαιας χρειας, ἱνα μη ωσιν ακαρποι.

15 Ασπαζονται[5] σε οἱ μετ' εμου παντες. Ασπασαι τους φιλουντας ἡμας εν πιστει. Ἡ χαρις μετα παντων ὑμων.[6] Αμην.[7]

---

[1] ερις 394c,1768c || ερεις [75%] 201,394,604,986,1247,1249c,1548,1768,1855c

[2] και αμαρτανει ων αυτοκατακριτος || --- 18 (possible homoioteleuton: -τος . . . -τος)

[3] αρτεμαν || ἁρτεμαν 328

[4] εκει || 1 σε 1637

[5] ασπαζονται || ασπαζοντες 824

[6] υμων || ημων 959,1725

[7] The Greek font used is Bwgrkl and may be downloaded free from http://www.bibleworks.com.